μορων, καὶ ἡ κεφαλὴ Σομορων υἱὸς τοῦ Ρομελιου· καὶ ἐὰν μὴ
πιστεύσητε, οὐδὲ μὴ συνῆτε.
[10]Καὶ προσέθετο κύριος λαλῆσαι τῷ Αχαζ λέγων [11]Αἴτησαι σε- 10 11
αυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. [12]καὶ 12
εἶπεν Αχαζ Οὐ μὴ αἰτήσω οὐδ᾽ οὐ μὴ πειράσω κύριον. [13]καὶ εἶπεν 13
Ἀκούσατε δή, οἶκος Δαυιδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀν-
θρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; [14]διὰ τοῦτο δώσει κύ- 14
ριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέ-
ξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Εμμανουηλ· [15]βούτυρον 15
καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ ἐκ-
λέξεται τὸ ἀγαθόν· [16]διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ 16
κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν, καὶ καταλειφθή-
σεται ἡ γῆ, ἣν σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βασιλέων. [17]ἀλλὰ 17
ἐπάξει ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ
πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν ἀφ᾽ ἧς ἡμέρας ἀφεῖλεν Εφραιμ
ἀπὸ Ιουδα, τὸν βασιλέα τῶν Ἀσσυρίων. [18]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ 18
ἐκείνῃ συριεῖ κύριος μυίαις, ὃ κυριεύει μέρους ποταμοῦ Αἰγύπτου,
καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων, [19]καὶ ἐλεύσονται πάν- 19
τες καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώ-
γλαις τῶν πετρῶν καὶ εἰς τὰ σπήλαια καὶ εἰς πᾶσαν ῥαγάδα καὶ
ἐν παντὶ ξύλῳ. [20]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος τῷ ξυρῷ τῷ 20
μεγάλῳ καὶ μεμεθυσμένῳ, ὅ ἐστιν πέραν τοῦ ποταμοῦ βασιλέως
Ἀσσυρίων, τὴν κεφαλὴν καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν πώ-
γωνα ἀφελεῖ. [21]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θρέψει ἄνθρωπος 21
δάμαλιν βοῶν καὶ δύο πρόβατα, [22]καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον 22
ποιεῖν γάλα βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ
τῆς γῆς. [23]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς τόπος, οὗ ἐὰν ὦσιν 23
χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν·
[24]μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ 24
ἄκανθα ἔσται πᾶσα ἡ γῆ. [25]καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτρια- 25

9 υιος] pr. ο S*L* || 10 αχααζ A† || 11 θεου] pr. του S*L* || 12 ουδ ου μη] ουδε μη B*L* || 14 αυτος] -τοις A† | εξει] λη(μ)ψεται B*LC* | καλεσεις B A*C* (cf. Matth. 1 21 Luc. 1 31)] -σει S, -σετε Q*L*, -σουσι(ν) compl. || 15 η $2^0$ > A† | εκλεξεται AQS^c*L*] -ξασθαι BS**C* || 16 απειθει — αγαθον $2^0$ > S*† | του > B*C* | των δυο βασ.] αυτων A† || 17 σου $2^0$ > S*† || 18 ο] αι *LC* | κυριευει SAQ] -ευσει B, -ευσουσι *L*, -ευ(σ)ουσιν *C* | μερους AQS^c*L*] υ > BS**C* || 19 ελευσ.] pr. εξ S* | και αναπαυσ.] > B(†), ante παντες tr. *LC* | χωρας] + σου S† | εις ult.] επι A | και εν παντι ξυλω > B† || 20 τω $1^0$] pr. εν B*C* = 𝔐 | μεγαλω και SA] μεγ. τω Q†; > B*LC* = 𝔐 | μεμεθυσμενω SAQ*LC* (שׁ pro שׂ)] μεμισθωμενω B† = 𝔐 | ο εστιν AQS^c] > BS**LC* = 𝔐 || 22 βουτυρον] pr. φαγεται βουτυρον οτι *LC* (in *O* sub ※) || 23 πας] pr. εσται *LC* (in *O* sub ※) | εις ult. > A† | ακανθας S*†, -θα (sic) *C* || 24 ακανθε(i. e. -θαι) S*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/579 UNIVERSITÄT LEIPZIG